www.tezaurliturgic.ro

ΥΜΝΟΛΟΓΙΚΑ, ΠΑΡΑΚΛΗΣΙΣ, ΒΙΟΣ, ΜΑΡΤΥΡΙΟΝ ΚΑΙ ΘΑΥΜΑΤΑ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΜΥΡΟΒΛΥΤΟΥ



Ἀθῆναι, 28 Ἰανουαρίου 2017

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΥΜΝΟΛΟΓΙΚΑ, ΠΑΡΑΚΛΗΣΙΣ, ΒΙΟΣ, ΜΑΡΤΥΡΙΟΝ ΚΑΙ ΘΑΥΜΑΤΑ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΜΥΡΟΒΛΥΤΟΥ

ἀφιερωματικῶς εἰς τὸν ἅγιον Δημήτριον
ἐξ ἀφορμῆς βαπτίσματος καὶ χρίσματος
Δήμητρος, θυγατρίου θεοπέμπτου, πεφιλημένου



28 Ἰανουαρίου 2017
μνήμη τῶν ὁσίων Ἐφραὶμ καὶ Ἰσαὰκ τῶν Σύρων

Μηνολόγιον.

Τῇ ΚϚ΄ τοῦ μηνὸς Ὀκτωβρίου, μνήμη τοῦ Ἁγίου καὶ πανενδόξου Μεγαλομάρτυρος καὶ θαυματουργοῦ Δημητρίου τοῦ Μυροβλύτου.

Στίχ. Δημήτριον νύττουσι λόγχαι Χριστέ μου,
Ζηλοῦντα πλευρᾶς λογχονύκτου σῆς πάθος.

Εἰκοστῇ μελίαι Δημήτριον ἔκτῃ ἀνεῖλον.

* * *

Ἦχος α΄. Φωτίζου, φωτίζου.

Μεγάλυνον ψυχή μου,
τοὺς δύο στρατηλάτας,
σὺν τῷ Δημητρίῳ, Γεώργιον τὸν μέγαν.

Δημήτριε Μάρτυς, σὺν Γεωργίῳ τῷ κλεινῷ,
ἀγαθοὶ γὰρ οἱ δύο, μηδαμῶς ἐλλίπητε,
Νεκταρίου οἶκον, φρουροῦντες ἀεί,
καὶ πειρασμῶν, ὅλας μυριάδας,
μετακινοῦντες ἀμφότεροι.

* * *

Πρόλογος

Ὁ Ἅγιος Μεγαλομάρτυς Δημήτριος ὁ Μυροβλύτης εἶναι ἀπὸ τοὺς ἐνδοξοτέρους καὶ δημοφιλεστέρους ἁγίους τῆς Ὀρθόδοξης Χριστιανικῆς Ἐκκλησίας, μαζὶ μὲ τὸν Ἅγιο Γεώργιο. Εἶναι πολιοῦχος τῆς Θεσσαλονίκης, ὅπου γεννήθηκε μεταξὺ τῶν ἐτῶν 280-284· ἐκεῖ ἔζησε καὶ μαρτύρησε ἐπὶ τῶν αὐτοκρατόρων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ περὶ τὰ ἔτη 303-306. Ἡ μνήμη του ἑορτάζεται σὲ ἀνατολὴ καὶ δύση στὶς 26 Ὀκτωβρίου.

Καταγόταν ἀπὸ ἀριστοκρατικὴ οἰκογένεια. Σὲ νεαρὴ ἡλικία κατατάχθηκε στὸν ρωμαϊκὸ στρατὸ καὶ ἔφτασε ὡς τὸν βαθμὸ τοῦ χιλιάρχου, σὲ ἡλικία μόλις 22 ἐτῶν. Φύση φιλομαθὴς καὶ ἐρευνητικὴ ἀναζητοῦσε τὸ ὑψηλὸ καὶ τὸ ἀληθινὸ καὶ τὸ βρῆκε στὴν χριστιανικὴ πίστη, τῆς ὁποίας ἔγινε διαπρύσιος κήρυκας στὴν Θεσσαλονίκη. Σχημάτισε κύκλο νεαρῶν μαθητῶν καὶ τοὺς δίδασκε τὴν Ἁγία Γραφὴ στὶς ὑπόγειες στοὲς κοντὰ στὰ δημόσια λουτρὰ τῆς πόλεως.

Κατὰ τὴν διάρκεια μιᾶς τέτοιας συναθροίσεως, οἱ εἰδωλολάτρες τὸν συνέλαβαν καὶ τὸν ὁδήγησαν ἐνώπιον τοῦ αὐτοκράτορα Μαξιμιανοῦ, ποὺ παρεπιδημοῦσε στὴ Θεσσαλονίκη. Ὅταν ὁ αὐτοκράτορας τοῦ ζήτησε νὰ ἀπαρνηθεῖ τὴν πίστη του, ὁ Δημήτριος τοῦ ἀπάντησε: «Τῷ Χριστῷ μου πιστεύω μόνον». Ὁ Μαξιμιανὸς ἐξοργισμένος ἀπὸ τὴν θαρραλέα στάση τοῦ ἀξιωματικοῦ του διέταξε νὰ τὸν φυλακίσουν.

Ἐν τῷ μεταξύ, ἕνας ἀπὸ τοὺς μαθητὲς τοῦ Δημητρίου, ὁ Νέστωρ, παρουσιάστηκε στὸ στάδιο τῆς Θεσσαλονίκης, ὅπου ὁ Μαξιμιανὸς διοργάνωνε μονομαχίες καὶ ζήτησε νὰ ἀγωνιστεῖ ἐξ ὀνόματος τῶν χριστιανῶν μὲ τὸν θηριώδη καὶ ἀκατανίκητο παλαιστὴ Λυα-

www.tezaurliturgic.ro
ῖο, εἰδωλολάτρη καταγόμενο ἀπὸ τὸ Σίρμιο τῆς Πανονίας (σημερινὴ Μητροβίτσα Σερβίας).

Ὁ νεαρὸς χριστιανὸς πρὶν τὴ μονομαχία ἐπισκέφθηκε τὸν Δημήτριο καὶ ζήτησε τὴ βοήθειά του. Ὁ Ἅγιος Δημήτριος τοῦ ἔδωσε τὴν εὐχή του καὶ ὁ Νέστωρ μπῆκε στὴν παλαίστρα καὶ ὄχι μόνο νίκησε τὸν Λυαῖο, ἀλλὰ τὸν σκότωσε, ὅπως ὁ Δαυὶδ τὸν Γολιὰθ στὴν Παλαιὰ Διαθήκη. Ὀργισμένος ὁ Μαξιμιλιανὸς ἀπὸ τὴν ἥττα τοῦ ἐκλεκτοῦ του, διέταξε τὸν ἀποκεφαλισμὸ τοῦ Νέστορα καὶ τὴν θανάτωση τοῦ Δημητρίου μὲ λογχισμούς.

Οἱ συγγραφεῖς ἐγκωμίων τοῦ Ἁγίου Δημητρίου, Εὐστάθιος Θεσσαλονίκης, Γρηγόριος ὁ Παλαμᾶς καὶ Δημήτριος Χρυσολωρᾶς, ἀναφέρουν ὅτι τὸ σῶμα τοῦ Ἁγίου ἐτάφη στὸν τόπο τοῦ μαρτυρίου, ὁ δὲ τάφος μετεβλήθη σὲ βαθὺ φρέαρ ποὺ ἀνέβλυζε μύρο, ἐξ οὗ καὶ ἡ προσωνυμία τοῦ Μυροβλύτου.

Στὶς βυζαντινὲς εἰκόνες ἀλλὰ καὶ στὴ σύγχρονη ἁγιογραφία ὁ Ἅγιος Δημήτριος παρουσιάζεται ἀρκετὲς φορὲς ὡς καταφράκτης ἱππότης μὲ ἐρυθρὸ ἄλογο (σὲ ἀντιδιαστολὴ τοῦ λευκοῦ ἀλόγου τοῦ Ἁγίου Γεωργίου) νὰ πατᾶ τὸν ἄπιστο Λυαῖο.

Σπάνια ἕνας ἅγιος ἔχει ταυτισθεῖ τόσο στενὰ μὲ μία πόλη, ὅσο ὁ Ἅγιος Δημήτριος μὲ τὴν Θεσσαλονίκη. Θεωρήθηκε ἀνέκαθεν ἀπὸ τοὺς Ἕλληνες ὁ φρουρὸς τῆς πόλεως, ποὺ μαζὶ μὲ τὸν λαὸ ἀγωνίζεται ἐναντίον τῶν Σλάβων, Ἀβάρων, Ἀράβων, Νορμανδῶν, Φράγκων, Τούρκων καὶ ἄλλων βαρβάρων. Δὲν εἶναι τυχαῖο ὅτι ὁ ἑλληνικὸς στρατὸς ἀπελευθέρωσε τὴν Θεσσαλονίκη ἀνήμερα τῆς ἑορτῆς τοῦ Ἁγίου Δημητρίου (26 Ὀκτωβρίου 1912), γεγονὸς ποὺ θεωρήθηκε θαῦμα.

* * * * *

Τροπάρια

τοῦ ἁγίου ἐνδόξου καὶ θαυματουργοῦ Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου (†306).

Ἀπολυτίκιον τοῦ Μεγαλομάρτυρος. Ἦχος γ΄. Θείας πίστεως.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαῤῥύνας τὸν Νέστορα, οὕτως Ἅγιε, μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον Μετακομιδῆς Λειψάνων τοῦ Μεγαλομάρτυρος. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῶν σεπτῶν σου λειψάνων τὴν μετακόμισιν, ἀπὸ δυσμῶν πρὸς τὴν πόλιν Θεσσαλονίκην σοφέ, ἑορτάζοντες λαμπρῶς ἀνευφημοῦμέν σε· ὅτι ηὐδόκησας ἐλθεῖν, ταῦτα πάλιν εἰς τὴν γῆν, Δημήτριε τὴν πατρῴαν, ἥτις ἐν σοὶ καυχωμένη, αἶνόν σοι, ᾄδει χαριστήριον.

Ἕτερον Ἀπολυτίκιον τοῦ Μεγαλομάρτυρος. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον. (Ποίημα Χαραλάμπους Μπούσια)

Εὐσταλὲς στρατιῶτα Χριστοῦ τῆς πίστεως, Θεσσαλονίκης προστάτα καὶ πολιοῦχε σεπτέ, ἀκατάβλητε Δημήτριε, δυνάμεως ὁ πλήσας Νέστορα σεμνὸν θείας, πλήρωσον ἡμᾶς ἰσχύος πατῆσαι πλάνον ὡς μυροβλύτην τιμῶντάς σε καὶ χαρίτων κρήνην ἄφθονον.

Ἕτερον Ἀπολυτίκιον τοῦ Μεγαλομάρτυρος.
(Ὑπὲρ προστασίας τῆς Μακεδονίας)
Ἦχος γ΄. Θείας πίστεως.

Μέγαν εὕρατο εἰς περιστάσεις, σὲ ἀμύντορα, Μακεδονία, Ἀθλοφόρε, ἀθέους ἐκτρέποντα· ὡς οὖν πλειστάκις λαόν σου διέσωσας, οὕτω καὶ νῦν ἐπιβούλους ἀπότρεψον, ὑπερένδοξε Μεγαλομάρτυς Δημήτριε, κριτῶν ἀδίκων πλεκτάνας διάλυσον, δωρούμενος ἡμῖν εἰρήνην καὶ θεῖον ἔλεος.

Κοντάκιον τοῦ Ἁγίου. Ἦχος β΄. Αὐτόμελον.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις Δημήτριε, τὴν Ἐκκλησίαν Θεὸς ἐπορφύρωσεν, ὁ δούς σοι τὸ κράτος ἀήττητον, καὶ περιέπων τὴν Πόλιν σου ἄτρωτον· αὐτῆς γὰρ ὑπάρχεις τὸ στήριγμα.

Ἕτερον Κοντάκιον τοῦ Ἁγίου.
Ἦχος δ΄. Ἐπεφάνης σήμερον.
(Ποίημα Στεφάνου)

Τὴν σεπτὴν μεθέορτον ἐπιτελοῦντες, τῆς ἁγίας μνήμης σου, μάρτυς Δημήτριε σοφέ, σῶσον ἡμᾶς ἐκβοῶντάς σοι· σὺ γὰρ ὑπάρχεις προστάτης θερμότατος.

Ἕτερον Κοντάκιον τοῦ Ἁγίου. Ἦχος β΄.
(Ἐκ τῆς βίβλου Θύρα Μετανοίας)

Ὡς Ἰάκωβόν σε δεύτερον, σοῦ τὸν ἐχθρὸν πτερνίσαντα, ὡς Ἰωσήφ σε τιμῶμεν τὸν σώφρονα, τῶν παθῶν βασιλεύσαντα, τῇ ἁμαρτίᾳ γὰρ Μάρτυς μὴ δουλωθείς, καὶ τῇ πλάνῃ μάκαρ ἔλαβες παρὰ τοῦ νέμοντος πρὸς τοὺς ἀγῶνας τὴν χάριν, Δημήτριε καὶ στέφος ἄφθαρτον.

Ἕτερον Κοντάκιον τοῦ Ἁγίου. Ἦχος πλ. β΄.

Τὸν δι᾽ ἡμᾶς λογχευθέντα ἐμιμήσω Δημήτριε, αὐτὸν γὰρ κηρύττων ἐκ πόθου, ἐλογχεύθης καὶ ἔκραζες· εἰ καὶ τὸ σὸν φέρω πάθος, σοῦ μετέχω τῆς ζωῆς ὁ Θεός μου.

Ἕτερον Κοντάκιον τοῦ Ἁγίου. Ἦχος πλ. β΄.

Τὸν ἄφθαρτον καὶ ζῶντα Χριστὸν ποθήσας ταῖς λόγχαις κατετρώθης καὶ ἐνεκρώθης· ἐν τῷ φρέατι δὲ ἔῤῥιψαν μὴ ταφεὶς μένων ἄφθαρτος· ἐκ τάφου δὲ σεπτὰ ἔβλυσας μῦρα, χάριν χορηγῶν τοῖς ἐκβοῶσι· Ταῦτα, σώματος εἰσὶ τοῦ πανάγνου Δημητρίου, ἐν ᾧ Χριστὸς ἐδοξάσθη.

Ἕτερον Κοντάκιον τοῦ Ἁγίου. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τῷ ὑπερμάχῳ στρατηγῷ καὶ ἀντιλήπτορι,
εὐχαριστήριον ᾠδὴν καὶ ἱκετήριον
νῦν προσφέρει σοι ἡ ποίμνη σου ἀθλοφόρε,
ἀλλ᾽ ὡς ἔχων ἐκ Θεοῦ ἰσχὺν ἀήττητον,
ἐκ παντοίων πειρασμῶν με ἐλευθέρωσον,
ἵνα κράζω σοι· χαίροις Μάρτυς Δημήτριε.

Ἕτερον Κοντάκιον τοῦ Ἁγίου.
Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.
(Ποίημα Χαραλάμπους Μπούσια)

Τὸν μυροβλύτην τοῦ Χριστοῦ μεγαλομάρτυρα,
Θεσσαλονίκης τὸν φρουρὸν καὶ ἀντιλήπτορα
καὶ τὸν ῥύστην ἐξαιρέτως τῆς Ἐκκλησίας
ἐκ δεινῶν καὶ ἐπηρείας τοῦ ἀλάστορος
ὡς ἀλείπτην θείου Νέστορος τιμήσωμεν
πόθῳ κράζοντες· Χαίροις, μάκαρ Δημήτριε.

Μεγαλυνάριον τοῦ Ἁγίου.

Τὸν μέγαν ὁπλίτην καὶ ἀθλητήν, τὸν στεφανηφόρον, καὶ ἐν Μάρτυσι θαυμαστόν, τὸν λόγχῃ τρωθέντα, πλευρὰν ὡς ὁ Δεσπότης, Δημήτριον τὸν θεῖον ὕμνοις τιμήσωμεν.

Ἕτερον Μεγαλυνάριον τοῦ Ἁγίου.
(Μετακομιδὴ Λειψάνων)

Χαίρει δεξαμένη πανευλαβῶς, Δημήτριε Μάρτυς, τῶν Λειψάνων σου τὴν σορόν, ἡ Θεσσαλονίκη, καὶ ταῦτα προσκυνοῦσα, κηρύττει τὴν πλουσίαν, χάριν σου Ἅγιε.

Ἕτερον Μεγαλυνάριον τοῦ Ἁγίου.
(Ποίημα Χαραλάμπους Μπούσια)

Σύμμορφος γενόμενος τῶν παθῶν τοῦ Χριστοῦ ἐτρώθης λόγχῃ, ἔνδοξε, σὴν πλευρὰν καὶ Θεσσαλονίκης ἠγίασας τὴν χθόνα αἱμάτων σου τοῖς ῥείθροις, πάνυ Δημήτριε.

* * * * *



Ὑμνολογικά, εὑρεθέντα ἐν Ἄθωνι

Προσόμοια ἑσπέρια.

Ἦχος α΄. Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, Δημητρίου ψυχή, ἀπὸ γῆς ἀνέρχεται καὶ ἄνω πρὸς οὐρανὸν ἐγκατοικίζεται, εὐφραίνου ὁ οὐρανός, τοῦ Δημητρίου τὸ θεῖον κατάλυμα, βοάτω πᾶς ὁ λαός, ἐν καθαρᾷ τῇ καρδίᾳ φθεγγόμενος, ἀθλητῶν τὸ κλέος χαίροις, μετὰ σοῦ ἡ δύναμις, τοῦ Σωτῆρος ὑπάρχει, ἐκτελοῦσα τὰ τεράστια.

Βαβαὶ τῶν σῶν μεγαλείων σοφέ, τοῦ τυράννου θράσος, ἀνδρείως κατέβαλες, καὶ πᾶσαν τὴν μηχανήν, εἰδώλων ἔσβεσας, ἐκήρυξας δὲ τρανῶς, τῆς εὐσεβείας τὰ θεῖα διδάγματα, δι᾽ ὧν οἱ πάντες πιστοί, τῇ ἀληθείᾳ στερρῶς ἐστηριχθησαν, καὶ πρὸς σὲ βοῶμεν μάρτυς, μετὰ σοῦ ἡ δύναμις, τοῦ Κυρίου ὑπάρχει, ἐκτελοῦσα τὰ τεράστια.

Τὴν σὴν δοξάζουσιν ἄθλησιν, οὐρανῶν τὰ πλήθη, καὶ ἀγγέλων ὅμιλος, καὶ πάντων τῶν εὐσεβῶν, σεπτὴ ὁμήγυρις, ἀγάλλονται γηγενεῖς, ἐν τῷ σεπτῷ σου τεμένει Δημήτριε· Λυαῖος δ᾽ ὁ δυσσεβής, τῇ παναλκεῖ σου δυνάμει τιτρώσκεται καὶ πρὸς σὲ πιστοὶ βοῶμεν, μετὰ σοῦ ἡ δύναμις, τοῦ Κυρίου ὑπάρχει, ἐκτελοῦσα τὰ τεράστια.

Μύρου τοῦ σεπτοῦ σου ἔνδοξε, ἡ ὀσμὴ ἐξῆλθεν, εἰς τὰ γῆς νῦν πέρατα, καὶ πάσας τῶν εὐσεβῶν, ψυχὰς κατηύφρανας, τοὺς πόθῳ ἐν τῇ σορῷ, προσερχομένους τοῦ θείου λειψάνου σου, καὶ πάσης φθοροποιοῦ, ἐξαιτουμένας τὴν ῥῶσιν παθήματος, χαρίζεται Μάρτυς χαίροις, ἐκβοῶσα ἔνδοξε τὸν Σωτῆρα δυσώπει, ὑπὲρ τῶν ἀνευφημούντων σε.

* * *

Ἰδιόμελα τῆς Λιτῆς. Ἦχος α΄. Ἰακώβου.

Τρισαριστεῦ ἀντιλήπτωρ ἡμῶν, Μεγαλομάρτυς Δημήτριε, τῶν μαρτυρικῶν κοιλάδων τὸ ἀμάραντον ἄνθος, τὸ μῆλον τὸ εὔοσμον, ἄμπελος ἡ κυπρίζουσα, ταῖς διαφόροις τοῦ Πνεύματος χάρισιν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ, ὅτι ἐπήρθη ἡ μεγαλοπρέπεια τῶν θαυμάτων σου, ὑπεράνω τῶν οὐρανῶν, προσαδέτω σοι ταῦτα κατὰ καιρόν, κιννύρα πνευματική, τὸν γὰρ Θεάνθρωπον Λόγον τοῦ Ὑψίστου Πατρός, ὡς ἐκείνου γνήσιος δοῦλος, κατὰ δύναμιν μιμησάμενος, ἐπὶ Σταυροῦ μὲν οὐκ ἀνέβης, λόγχαις δ᾽ ὅμως τὸ καθαρώτατόν σου σῶμα, μυριότρωτον ἐκ τούτων ἀπέδειξας καὶ νῦν αἰδεῖταί σου τὸ τίμιον πάθος, ἡ ἐν Ἐδὲμ φλογίνη ῥομφαῖα, ὡς πάλαι τῆς τοῦ Σωτῆρος πλευρᾶς, τὸ ἓν πεφόβηται λόγχευμα, καὶ πάροδον πρώτῳ παρέσχε, τῷ εὐγνώμονι λῃστῇ· διὰ τοῦτο καὶ θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ, καὶ ἡ μεγαλοπρέπεια τῆς δόξης σου, ἀπὸ περάτων εἰς πέρατα μεγαλύνεται ἐξαιρέτως τῇ πατρῴᾳ σου γῇ καὶ τῇ ποίμνῃ σου ταύτῃ, ἣν περίσωζε ἐκ παντοδαπῶν πειρασμῶν, καὶ κινδύνων ταῖς πρεσβείαις σου.

Ἦχος β΄.

Δεῦτε φιλομάρτυρες σήμερον, τῶν ἀθλητῶν τὸ καύχημα, καὶ τῶν μαρτύρων ἐγκαλλώπισμα, Δημήτριον τὸν πανθαύμαστον ὁπλίτην, καὶ ἀκαθαίρετον στρατιώτην τοῦ Χριστοῦ, ἐν ὕμνοις τιμήσωμεν, οὗτος γὰρ κατεπάτησε τοῦ ἀοράτου Βελίαρ τὴν δύναμιν, καὶ νίκης ἄρας τρόπαια, τῇ παναλκεστάτῃ τοῦ ὑψίστου δεξιᾷ ἐστεφάνωται καὶ σὺν ἀγγέλοις χορεύων περὶ τὸν θρόνον τοῦ Σωτῆρος, δυσωπεῖ ὁ πανθαύμαστος, ὑπὲρ τῶν πίστει καὶ πόθῳ ἐκτελούντων, τὴν πανέορτον μνήμην αὐτοῦ.

Δόξα. Ἦχος πλ. α΄. Σαλπίσωμεν ἐν σάλπιγγι.
(ἐλήφθη ἐκ τοῦ Λαυρεωτικοῦ κώδικος Γ΄, φ.38β)

Συνδράμωμεν ἐν πίστει τε καὶ πόθῳ, βοήσωμεν χαρμόσυνα καὶ κροτήσωμεν χεῖρας ἅπαντες, ἐν τῇ δι᾽ ἔτους πανηγύρει τοῦ ἀρχηγέτου ἡμῶν. Στρατιαὶ οὐράνιαι εὐφραινέσθωσαν, καὶ τὸν λογχευθέντα διὰ τὸν λόγχῃ νυγέντα, Βασιλέα Κύριον, καὶ τὸ θράσος τοῦ Λυαίου καθηρηκότα, θαρσαλέως θαυμαζέσθωσαν. Ἡ γῆ τε καὶ ἡ θάλασσα τὰ τοῦ λαμπροῦ φωστῆρος, παράδοξα σημεῖα καταχρέως εὐφημήσωμεν· ἡ νεότης τὸν χαλινόν· οἱ ἐν τῷ γήρει τὴν βακτηρίαν, οἱ ἐν συμφοραῖς τὸν προστάτην· οἱ ἄποροι τὸν πλουτιστήν· οἱ ἐν εὐπορίᾳ τὸν οἰκονόμον, τὴν συμμαχίαν οἱ στρατιῶται· οἱ ἐν πελάγει τὸν συμπλωτῆρα, σὺν πᾶσι τὸν ἐν αὐτοῖς στερρὸν ὑπέρμαχον, πόλις Θεσσαλονίκη, καθικετεύουσα οὕτως εἶπωμεν· περίδοξε Δημήτριε, πρόφθασον, ἐξελοῦ ἡμᾶς τῆς ἐφεστώσης ἀνάγκης, καὶ σῶσον τὴν ποίμνην σου ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Ἀπόστιχα. (ἁλιευθέντα ἐκ χειρογράφων τῆς βατοπαιδινῆς σκήτης τοῦ ἁγίου Δημητρίου)

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Λάμπεις τῇ πατρίδι σου ἀεί, ἔνδοξε Δημήτριε Μάρτυς, ὥσπερ ἀστὴρ φαεινός, σκέπεις γὰρ ἑκάστοτε αὐτὴν ἐκ βλάβης ἐχθρῶν, καὶ λυτροῦσαι κακώσεως καὶ ζάλης παντοίας, ὅθεν καὶ χαρμόσυνον ἄγει ἐτήσιον, μάκαρ ἑορτὴν ἐκτελοῦσα, πίστει τε καὶ πόθῳ ὑμνοῦσα, Κύριον τὸν σὲ ὑπερδοξάσαντα.

Μάρτυς ἀθλοφόρε τοῦ Χριστοῦ, θαύμασιν ἀστραπτεις ἐν κόσμῳ, οἷάπερ ἥλιος, Ἅγιε Δημήτριε· διὸ τὴν μνήμην σου, εὐωχούμενοι ἅπαντες τῶν σῶν τεραστίων, μάκαρ τὰ ἐξαίρετα πανηγυρίζοντες, πίστει παῤῥησίαν οὖν ἔχων, πρέσβευε πρὸς Κύριον σῶσαι, ἐκ φθορᾶς καὶ θλίψεως τοὺς δούλους σου.

Λόγχαις ἐκεντήθης τὴν πλευράν, διὰ τὸν νυγέντα Σωτῆρα ἐν τῷ Σταυρῷ τὴν πλευράν, τούτου γὰρ τὰ στίγματα πόθῳ ἐζήλωσας, ἀθλοφόρε Δημήτριε δεικνύων τοῖς πᾶσι, τὸ ἀκαταγώνιστον τῆς μαρτυρίας σου, ὅθεν καὶ τρωθεὶς ὁ διώκτης, βέβληται λαβών σου τὴν πεῖραν, τῆς ὁμολογίας ἀθλητὰ τοῦ Χριστοῦ.

* * * * *



Κανὼν Παρακλητικός

εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Δημήτριον τὸν Μυροβλύτην

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

* * *

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Ψαλμὸς ρμβ΄ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ

δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σού εἰμι.

* * *

Καὶ εὐθύς, μετὰ τῶν στίχων αὐτοῦ ἐξ ἑκατέρων τῶν χορῶν.

Ἦχος δ΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τὰ παρόντα τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς τοῦ Σωτῆρος εὐκλεὴς Ἀθλοφόρος, καὶ εὐσεβούντων βοηθὸς καὶ προστάτης, Μεγαλομάρτυς Ἅγιε Δημήτριε, λύτρωσαι τὴν πόλιν σου, συμφορῶν καὶ κινδύνων, δίδου δὲ τοῖς σπεύδουσι, τῇ

πανσέπτῳ σορῷ σου, ἁμαρτημάτων λύσιν καὶ παθῶν, ταῖς πρὸς Θεόν, εὐπροσδέκτοις πρεσβείαις σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου, λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προϊστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

* * *

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Ψαλμὸς Ν΄ (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

* * *

Καὶ ἀρχόμεθα τοῦ Κανόνος, οὗ ἡ ἀκροστιχίς·
«Ἴθι Μυροχεύμων ἡμᾶς σκέπων. Γερασίμου».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰσχύϊ ἀθλήσας τῇ θεϊκῇ, Δημήτριε Μάρτυς, ἰσχὺν δίδου κατὰ παθῶν, τῇ σῇ ἀντιλήψει Ἀθλοφόρε, τοῖς τῇ θερμῇ προσιοῦσι πρεσβείᾳ σου.

Θαυμάτων παράδοξα ἐνεργῶν, λυτροῦσαι κινδύνων, καὶ παντοίων ἐπιφορῶν, Δημήτριε Μάρτυς τοῦ Κυρίου, τοὺς προσιόντας πιστῶς τῇ πρεσβείᾳ σου.

Ἱλέωσαι Μάρτυς ὡς συμπαθής, Χριστὸν τὸν Σωτῆρα, ὡς ἂν εὕρωμεν ἱλασμόν, καὶ λύσιν παθῶν τε καὶ πταισμάτων, οἱ σὲ προστάτιν πλουτοῦντες Δημήτριε.

Θεοτοκίον.

Μαρία Παρθένε ἡ ἐν σαρκί, Θεὸν τετοκυῖα, τῆς σαρκός μου τὰς χαλεπάς, ἴασαι ὀδύνας καὶ ψυχῆς μου, τὴν σκοτομήνην φωτί σου διάλυσον.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ὑπὲρ πάντων δυσώπει, τὸν εὐμενῆ Κύριον, πάσης ἐκλυτροῦσθαι ἀνάγκης, καὶ περιστάσεως, Μάρτυς Δημήτριε, τοὺς ἀκλινεῖ διανοίᾳ τῷ ναῷ σου σπεύδοντας, καὶ σὲ γεραίροντας.

Ῥῶσιν δίδου σωμάτων, καὶ τῶν ψυχῶν ἴασιν, καὶ πολυειδῶν συμπτωμάτων, τὴν ἀπολύτρωσιν, Μάρτυς Δημήτριε, ταῖς πρὸς Χριστὸν ἱκεσίαις, τοῖς θερμῶς προστρέχουσι, τῇ προστασίᾳ σου.

Οἱ τῷ θείῳ ναῷ σου μετὰ σπουδῆς σπεύδοντες, πάσης λυτρωθείημεν βλάβης τοῦ πολεμήτορος, Μάρτυς Δημήτριε, καὶ θεϊκῆς εὐσπλαγχνίας, τύχοιμεν πρεσβείαις σου ἀξιοθαύμαστε.

Θεοτοκίον.

Χορηγὸν τοῦ ἐλέους καὶ οἰκτιρμῶν πέλαγος, τὸν Δημιουργὸν τῶν ἁπάντων, Παρθένε τέξασα, δι᾽ ἀγαθότητα, ἡμᾶς οἰκτείρησον πάντας, τοὺς τὸν ἀνερμήνευτον ὑμνοῦντας τόκον σου.

Διάσωσον Μεγαλομάρτυς Δημήτριε σαῖς πρεσβείαις, πάσης βλάβης καὶ θλιβερῶν περιστάσεων, τοὺς σὲ μεσίτην πρὸς Κύριον κεκτημένους.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

* * *

Εἶτα μνημονεύει ὁ ἱερεύς, δι᾽ οὓς ἡ παράκλησις γίνεται, καὶ ἡμεῖς μεθ᾽ ἑκάστην αἴτησιν ψάλλομεν τὸ Κύριε, ἐλέησον (γ΄).

www.tezaurliturgic.ro
Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει (μονῇ, κώμῃ, νήσῳ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα ὑπὲρ ὧν ἡ παράκλησις τελεῖται).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

Μετὰ τὴν δέησιν, τὸ ἑπόμενον Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

Προστάτης θερμός, Θεσσαλονίκης πέφηνας, ἐκ πάσης ὀργῆς καὶ θλίψεως ῥυόμενος, Δημήτριε πανεύφημε, τοὺς θερμῶς ἐκβοῶντας ἐκ πίστεως, ἐπερχομένων ἡμᾶς συμφορῶν, ἀτρώτους διάσωζε δεόμεθα.

* * *

Εἶτα ψάλλονται αἱ δ΄, ε΄ καὶ στ΄ ᾠδαὶ τοῦ κανόνος.

ὨΙδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἐπιφάνηθι Ἅγιε, ἀοράτως ταύτῃ τῇ κληρουχίᾳ σου, καὶ τὴν λύπην διασκέδασον, τὴν νῦν κατασχοῦσαν τὰς ψυχὰς ἡμῶν.

Ὑπερήφανον δράκοντα, καθ᾽ ἡμῶν τὰ χείρονα τεκταινόμενον, κατασύντριψον Δημήτριε, τῇ κραταιοτάτῃ προστασίᾳ σου.

Μὴ ἐλλείπῃς λυτρούμενος πάσης δυσχερείας ταύτην τὴν πόλιν σου, ὡς ἐῤῥύσω ταύτην Ἅγιε, ἀπειλῆς σεισμοῦ καὶ ὀλοθρεύσεως.

Θεοτοκίον.

Ὡς τεκοῦσα ἐν σώματι, τὸν Δημιουργὸν Παρθένε τῆς κτίσεως, καθικέτευε δεόμεθα, πάσης ἡμᾶς ῥύεσθαι κακώσεως.

ὨΙδὴ ε΄. Φώτισον ἡμᾶς.

Νόσων καὶ παθῶν, ἀπολύτρωσαι Δημήτριε, τοὺς προσπίπτοντας τῇ θείᾳ σου σορῷ, ἐξ ἧς ῥέει Παρακλήτου χάρις ἄφθονος.

Ἤθλησας στερῥῶς, καὶ ἡγίασας τὴν πόλιν σου, ταῖς τοῦ αἵματος καὶ μύρου προχοαῖς, ἣν καὶ νῦν ἐκ πάσης ῥύου Μάρτυς θλίψεως.

Μέγαν ἀρωγόν, καὶ προστάτιν συμπαθέστατον, κεκτημένοι σε οἱ Θεσσαλονικεῖς, κατὰ χρέος σε γεραίρουσι Δημήτριε.

Θεοτοκίον.

Ἄλυπον ἡμῶν, τὴν ζωὴν Παρθένε τήρησον, καὶ ἐκ πάσης ἀθυμίας τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν ἀπάλλαξον δεόμεθα.

ὨΙδὴ στ΄. Τὴν δέησιν, ἐκχεῶ.

Σορός σου, Μεγαλομάρτυς ἡ θεία, ὥσπερ ἄλλον ἱλαστήριον θεῖον, Θεσσαλονίκῃ τῇ πόλει σου ὤφθη, ἁγιασμὸν καὶ παθῶν ἀπολύτρωσιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, τοῖς πιστοῖς χορηγοῦσα Δημήτριε.

Σκανδάλων καὶ νοσημάτων καὶ πόνων, καὶ σεισμοῦ τῆς ὀλεθρίου μανίας, ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου Μάρτυς, τὴν κληρουχίαν σου ἄτρωτον φύλαττε· ὅτι τῇ σῇ διὰ παντός, προστασίᾳ προστρέχει Δημήτριε.

Κινδύνου, ὡς ἐλυτρώσω παμμάκαρ, ἐκ σεισμοῦ τοῦ βαρυτάτου λιταῖς σου, Θεσσαλονίκην τὴν πόλιν σου Μάρτυς, οὕτως αὐτὴν ἀεὶ ἄτρωτον φύλαττε, ἐπερχομένων συμφορῶν, παῤῥησίαν πλουτῶν πρὸς τὸν Κύριον.

Θεοτοκίον.

Ἐτέχθη, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ὁ τὸ εἶναι δεδωκὼς πᾶσι Κόρη, ἐκ τῆς φθορᾶς ἐξαιρούμενος πάντας, τοὺς προσκυνοῦντας τὸ μέγα μυστήριον, τοῦ τοκετοῦ σου τοῦ φρικτοῦ, Θεοτόκε Παρθένε Πανύμνητε.

Διάσωσον Μεγαλομάρτυς Δημήτριε σαῖς πρεσβείαις, πάσης βλάβης καὶ θλιβερῶν περιστάσεων, τοὺς σὲ μεσίτην πρὸς Κύριον κεκτημένους.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

* * *

Εἶτα μνημονεύει ὁ ἱερεύς, δι᾽ οὓς ἡ παράκλησις γίνεται, καὶ ἡμεῖς μεθ᾽ ἑκάστην αἴτησιν ψάλλομεν τὸ Κύριε, ἐλέησον **(γ΄).**

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν **(δεῖνος)** καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπι-

σκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει (μονῇ, κώμῃ, νήσῳ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα ὑπὲρ ὧν ἡ παράκλησις τελεῖται).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Πάλαι μὲν μύρον εὐῶδες ἀνέβλυζεν, ἡ σὴ σορὸς ἡ ἁγία Δημήτριε· νῦν δὲ παρέχει τὴν χάριν τοῦ Πνεύματος, τοῦ ἐν αὐτῇ ἐνοικοῦντος μακάριε, τοῖς πίστει καὶ πόθῳ προστρέχουσι.

Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

* * *

Τάξις τοῦ Εὐαγγελίου.

Ὁ ἱερεύς· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ χορός· Κύριε, ἐλέησον (ἐκ γ΄).

www.tezaurliturgic.ro

Ὁ ἱερεύς· Σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ Πνεύματί σου.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου, τὸ Ἀνάγνωσμα. Πρόσχωμεν. (κα΄ 12-19)

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

(Ζήτει τῇ ΚΓ΄ Ἀπριλίου, εἰς τὸν Ὄρθρον).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσιν γὰρ ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέτε οὖν εἰς τὰς καρδίαις ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Εἶτα· Δόξα. Ἦχος β΄.

Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅλη μετὰ πίστεως, τῇ σῇ θερμῇ προστασίᾳ, Ἅγιε Δημήτριε, σπεύδουσα ἡ πόλις σου ἀνακράζει σοι. Ὡς ποτε ἔσωσας, καὶ πολλάκις Μάρτυς, χαλεπῶν με περιστάσεων, οὕτω διάσωζε, καὶ ἐπερχομένων κακώσεων, λαόν σου τὸν θεόφρονα, τὸν εἰλικρινῶς πεποιθότα σοι, πταισμάτων τὴν λύσιν, αἰτούμενος ἡμῖν παρὰ Χριστοῦ, καὶ νοσημάτων τὴν ἴασιν, καὶ παθῶν ἐκλύτρωσιν.

Ὁ ἱερεύς·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια, πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· τῇ χάριτι τοῦ παναγίου καὶ ζωοδόχου Τάφου· προστασίαις τῶν τιμίων, ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, Νεκταρίου Πενταπόλεως, Λουκᾶ Συμφερουπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος, Θεοδώρου τοῦ

www.tezaurliturgic.ro
Στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ, Νέστορος καὶ Λούπου· τῶν ἱερομαρτύρων Χαραλάμπους, Βλασίου καὶ Ἐλευθερίου· τῶν ἁγίων, ἐνδόξων, μεγάλων Μαρτύρων γυναικῶν Θέκλης, Αἰκατερίνης, Βαρβάρας, Ἀναστασίας, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τοῦ ὁσίου πατρὸς ἡμῶν Πορφυρίου τοῦ Καυσοκαλυβίτου· (τοῦ Ἁγίου τοῦ Ναοῦ, ἐφ᾽ ὅσον δὲν ἐμνημονεύθη ἐν τοῖς ἄνω)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ Ἁγίου τῆς ἡμέρας, ἐὰν ἑορτάζηται), καὶ πάντων σου τῶν ἁγίων· ἱκετεύομέν σε μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Ὁ χορός· Κύριε, ἐλέησον (ιβ΄).

Ὁ ἱερεύς· Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

Εἶτα, ἀποπληροῦμεν τὰς λοιπὰς ᾠδὰς τοῦ Κανόνος.

ὨΙδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Πειρασμῶν ἀδοκήτων, καὶ σεισμῶν βαρυτάτων ἡμᾶς ἀπάλλαξον, τῇ σῇ ἐπιστασίᾳ Δημήτριε τρισμάκαρ, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὡς λειμὼν πανευώδης, ἡ σορὸς τῶν λειψάνων σου πνέει πάντοτε, ὀσμὴν ἀθανασίας, ἡμῶν τὰς διανοίας, μυστικῶς κατευφραίνουσαν, καὶ τὸ δυσῶδες παθῶν, Δημήτριε σοβοῦσαν.

Νεκρωθεὶς τῇ κακίᾳ, τῇ θερμῇ σου πρεσβείᾳ σπεύδω Δημήτριε, καὶ πίστει ἐκβοῶ σοι, νέκρωσον τῶν παθῶν μου, τὰ σκιρτήματα ἅπαντα, καὶ ζώωσόν μου τὸν νοῦν, τῇ χάριτί σου Μάρτυς.

Θεοτοκίον.

Γνώσει λάμπρυνον θείᾳ, τὸν ἀγνώμονα νοῦν μου Παρθένε Ἄχραντε, ὡς ἂν τῆς μετανοίας, πορεύσωμαι τὰς τρίβους, καὶ ζωῆς τύχω κρείττονος, ὁ καταφεύγων Ἀγνή, τῇ κραταιᾷ σου σκέπῃ.

ὨΙδὴ η΄. Τὸν Βασιλέα.

Ἔχει σε πόλις, Θεσσαλονίκη προστάτην, διὰ τοῦτό σου Δημήτριε κηρύττει, τὰς εὐεργεσίας, καὶ χάριτος τὸν πλοῦτον.

Ῥύου ἀπαύστως, ἐπιφορῶν καὶ κινδύνων, τοὺς προστρέχοντας τοῖς θείοις σου Λειψάνοις, καὶ τὴν σὴν πρεσβείαν, Δημήτριε ζητοῦντας.

Ἀΰλου μύρου, τῇ μυστικῇ εὐωδίᾳ, τῶν παθῶν ἡμῶν τὴν δυσωδίαν λῦσον, ἵνα σε τιμῶμεν, Δημήτριε παμμάκαρ.

Θεοτοκίον.

Σὺ εἶ Παρθένε, ὡς τοῦ Θεοῦ ἡμῶν Μήτηρ, καταφύγιον καὶ λύτρον ἐν ἀνάγκαις, τῶν ὑπερυψούντων, τὸν ἄφραστόν σου τόκον.

ὨΙδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰάσεις ἀναβλύζει, ἡ σεπτὴ σορός σου, τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος Ἅγιε, τοῖς ἀδιστάκτῳ καρδίᾳ σὲ μεγαλύνουσι.

www.tezaurliturgic.ro
Μαστίγων ὀλεθρίων, καὶ σεισμοῦ μανίας, Θεσσαλονίκην τὴν πόλιν σου φύλαττε, Μεγαλομάρτυς Δημήτριε εὐφημοῦσάν σε.

Οἱ πίστει προσιόντες, τῇ σεπτῇ σορῷ σου, ἐπηρειῶν χαλεπῶν ἀπαλλάττονται, καὶ κατὰ χρέος Δημήτριε ἀνυμνοῦσί σε.

Θεοτοκίον.

Ὑψίστου ἡ καθέδρα, Κεχαριτωμένη, τὴν πεπτωκυῖαν ψυχήν μου τοῖς πάθεσι, πρὸς πολιτείας ἁγίας ὕψωσον ἔλλαμψιν.

* * *

Καὶ εὐθύς, τό·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ θυμιᾷ ὁ ἱερεὺς τὸ θυσιαστήριον καὶ τὸν ναόν, ἢ τὸν οἶκον ὅπου τελεῖται ἡ παράκλησις· ἡμεῖς δὲ ψάλλομεν τὰ παρόντα μεγαλυνάρια.

Χαίροις τῶν Μαρτύρων ἡ καλλονή, καὶ Θεσσαλονίκης πολιοῦχος ὁ εὐκλεής· χαίροις Μυροβλύτα, Δημήτριε παμμάκαρ, ἡμῶν πρὸς τὸν Σωτῆρα πρέσβυς θερμότατος.

Δέδεκται ἐν κόλποις τὴν ἱεράν, σορόν σου παμμάκαρ, ὡς οὐράνιον θησαυρόν, ἡ Θεσσαλονίκη ἧς πάλαι ἐστερήθη, καὶ πόθῳ εὐφημεῖ σε Μάρτυς Δημήτριε.

Λύτρωσαι κινδύνων παντοδαπῶν, Δημήτριε Μάρτυς, καὶ παντοίων δυσχερειῶν, τοὺς τὴν σὴν πρεσβείαν, ἀπὸ ψυχῆς αἰτοῦντας, καὶ τῇ σεπτῇ σορῷ σου, πίστει προσπίπτοντας.

Ὡς ἐῤῥύσω Μάρτυς φθορᾶς σεισμοῦ, τὴν Θεσσαλονίκην, τῇ θερμῇ σου ἐπισκοπῇ, οὕτω ταύτην ῥύου, καὶ πᾶσαν τὴν Ἑλλάδα, ἐπερχομένων πόνων, καὶ περιστάσεων.

Μύρου εὐωδίᾳ τοῦ νοητοῦ, Μυροβλύτα Μάρτυς, ἀποδίωξον ἀφ᾽ ἡμῶν, παθῶν ἀκαθάρτων, τὴν δυσωδίαν θᾶττον, καὶ τῶν πταισμάτων αἴτει, ἡμῖν τὴν ἄφεσιν.

Ἴδε τοὺς ἑστῶτας πανευλαβῶς, τῇ σεπτῇ σορῷ σου, Μυροβλύτα Μάρτυς σοφέ, καὶ ἅπασι δίδου, τὰς σωτηρίους δόσεις, τὴν καθ᾽ ἡμῶν μανίαν, λύων τοῦ δράκοντος.

Τὸ Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ. Εἶτα·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

* * *

Ὁ ἀναγνώστης·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

www.tezaurliturgic.ro
Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

* * *

Καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος γ΄. Θείας πίστεως.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαῤῥύνας τὸν Νέστορα, οὕτως Ἅγιε, μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

* * *

Εἶτα μνημονεύει καὶ πάλιν ὁ ἱερεύς, δι᾽ οὓς ἡ παράκλησις γίνεται, καὶ ἡμεῖς μεθ᾽ ἑκάστην αἴτησιν ψάλλομεν τὸ Κύριε, ἐλέησον (γ΄).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει (κώμῃ, χώρᾳ, νήσῳ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα ὑπὲρ ὧν ἡ παράκλησις τελεῖται).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν (ἢ μονήν, ἢ νῆσον) ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου · ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ᾽ ἡμῶν κινουμένην· καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

Ὁ ἱερεὺς ποιεῖ μικρὰν Ἀπόλυσιν·

Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τοῦ ἁγίου ἐνδόξου καὶ θαυματουργοῦ μεγαλομάρτυρος Δημητρίου τοῦ μυροβλύτου, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Τῶν χριστιανῶν ἀσπαζομένων τὴν εἰκόνα
τοῦ ἁγίου, ψάλλονται τὰ παρόντα τροπάρια·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τοὺς προσπίπτοντας πιστῶς, τοῖς σοῖς μυριπνόοις λειψάνοις, καὶ δυσωποῦντάς σε, Ἅγιε Δημήτριε, Μεγαλομάρτυς Χριστοῦ, ῥῦσαι πάσης κακώσεως, σεισμοῦ τε ἀνάγκης, καὶ παντοίων θλίψεων, ψυχῆς καὶ σώματος, ἔχων πρὸς Χριστὸν παῤῥησίαν, καὶ πληρῶν ἀεὶ τὰς αἰτήσεις, τῶν εἰλικρινῶς μακαριζόντων σε.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ὁ ἱερεύς· Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ χορός· Ἀμήν.

* * * * *

Συναξάριον ἐκ τοῦ Μηναίου Ὀκτωβρίου

Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, ἐκ τῆς Θεσσαλονικέων ὁρμώμενος πόλεως, εὐσεβὴς ὢν ἄνωθεν καὶ τῆς εἰς Χριστὸν διδάσκαλος πίστεως. Ἐπιδημήσαντος δὲ τοῦ Μαξιμιανοῦ τῇ Θεσσαλονικέων, κατεσχέθη ὁ Ἅγιος, ὡς τῇ εὐσεβείᾳ διαβόητος. Σεμνυνομένου δὲ τοῦ βασιλέως ἐπί τινι ἀνδρί, Λυαίῳ τοὔνομα, καὶ προτρεπομένου τοὺς τῆς χώρας ἐξελθεῖν καὶ διαγωνίσασθαι πρὸς αὐτόν, (ἦν γὰρ ὁ Λυαῖος μεγέθει σώματος καὶ ῥώμῃ τοὺς κατ᾽ αὐτὸν ὑπερβάλλων)· νεανίας τις, τὴν πίστιν χριστιανός, τοὔνομα Νέστωρ, προσελθὼν τῷ ἁγίῳ Δημητρίῳ, ὄντι ἐν τῇ φρουρᾷ, ἔφη· «Δοῦλε τοῦ Θεοῦ, βούλομαι συμπλακῆναι τῷ Λυαίῳ· ἀλλὰ εὖξαι ὑπὲρ ἐμοῦ». Ὁ δέ, τῷ σημείῳ τοῦ Σταυροῦ κατασφραγίσας τὸ μέτωπον αὐτοῦ, «Καὶ τὸν Λυαῖον, φησί, νικήσεις καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσεις». Τούτοις ὁ Νέστωρ τοῖς ῥήμασι θαῤῥήσας, ἀντέστη τῷ Λυαίῳ καὶ τὴν ἀλαζονείαν αὐτοῦ κατέβαλεν, ἀποκτείνας αὐτόν.

Διὰ τοῦτο ὁ βασιλεὺς αἰσχυνθείς, ἐπεὶ καὶ ἐρευνήσας τὸ πρᾶγμα ἔμαθεν, ἐν ᾧ ἐφυλάττετο τόπῳ, λόγχαις τὴν πλευρὰν διαπαρῆναι ἐκέλευσε τὸν ἅγιον Δημήτριον πρῶτον, ὡς αἴτιον γενόμενον τῆς τοῦ Λυαίου σφαγῆς· καὶ τούτου γενομένου, εὐθέως ἀφῆκεν ὁ Ἅγιος τὴν ψυχήν, πολλῶν θαυμάτων καὶ ἰάσεων παραδόξων μετὰ τὴν τελευτὴν γενόμενος ποιητής. Εἶτα, τῇ τοῦ βασιλέως κελεύσει, καὶ ὁ ἅγιος Νέστωρ ἀπετμήθη τὴν κεφαλήν.

* * * * *

Θαύματα ὑπὸ Συμεῶνος τοῦ Μεταφραστοῦ

Εἶχε μὲν τὰ τοῦ Μάρτυρος οὕτω καὶ ὁ νεκρὸς αὐτοῦ κατὰ γῆν ἐῤῥίπτο. Μετὰ δὲ ταῦτα τινὲς τῶν φιλοχρίστων, τὸ τίμιον ἀνελόμενοι λείψανον, εὐλαβῶς περιστέλλουσιν· εἶτα καὶ κόνιν περιβαλόντες ἐν αὐτῷ, εὐλαβῶς θάπτουσι καὶ θεοφιλῶς. Εἷς δέ τις τῶν οἰκετῶν τοῦ Ἁγίου, παρεστὼς αὐτῷ, ὅτε τὴν μακαρίαν σφαγὴν ὑφίστατο καὶ ὡς οἷόν τε τὸ ἱερὸν ἐκεῖνο αἷμα εἰς τὸ θεῖον τοῦ Μάρτυρος ἀνελόμενος ἐπώμιον, ἀλλὰ καὶ ὃν ἐφόρει κατὰ χεῖρα δακτύλιον, τῷ μαρτυρικῷ αἵματι καὶ τοῦτον περιχρίσας, πολύ τι χρῆμα τεραστίων εἰργάζετο δι᾽ αὐτοῦ, ὡς πλήρη γενέσθαι τῆς τοιαύτης φήμης τῶν τεραστίων τὴν πόλιν Θεσσαλονικέων ἅπασαν. Ὅθεν οὐδὲ εἰκὸς ἦν ταῦτα, οὔτε Μαξιμιανὸν λαθεῖν οὔτε τὸν φθόνον ὑπενεγκεῖν· καὶ διὰ τοῦτο χειροῦται παραυτίκα ὁ θαυμάσιος οὗτος οἰκέτης, Λοῦπος τοὔνομα, καὶ ἀναιρεῖται.

Χρόνου δὲ παραῤῥέοντος καὶ τῶν σημείων διατρεχόντων, Λεόντιός τις ἀνήρ, τήν τε δόξαν λαμπρός, τήν τε πρὸς Χριστὸν πίστιν μάλα θερμός, νόσῳ βαρυτάτῃ κάτοχος γίνεται, ὡς τὸν θάνατον χρῆμά τι νομίζειν ἐπιεικῶς ποθεινότατον· καὶ ἐπεὶ ἰατροὶ μὲν φανερῶς ἠττῶντο, τὸ δὲ πάθος διὰ παντὸς ἤκμαζε, πρὸς τὸν θεῖον τοῦ Μάρτυρος καταφεύγει ναόν· καὶ εὐθύς, ἅμα τῇ καταθέσει τοῦ νοσοῦντος καὶ ἡ τοῦ Μάρτυρος διὰ τῶν ἐκείνου χειλέων ἀνάκλησις καὶ ἡ τοῦ νοσήματος εὐχερὴς ἀπόθεσις ἠκολούθησεν. Οὕτω ταχέως ὁ Λεόντιος τῆς θεραπείας τυχών, ταχεῖαν καὶ αὐτός, ὡς εἶχε, τὴν ἀμοιβὴν ἀποδίδωσι· καὶ τὸν μικρὸν οἰκίσκον, ὃς τὸ ἱερὸν εἶχε τοῦ Μάρτυρος σῶμα, ἐπὶ βραχέως κομιδῇ τοῦ στενοῦ τοῦ σχήματος ὄντα, τοῖς περιβόλοις τε τοῦ λουτροῦ καὶ τοῦ σταδίου ἀπειλεγμένον καταστρέψας αὐτός, ναὸν ἐν τῷ ἄστει Θεσσαλονίκης ἐξ αὐτῶν ἐδείματο τῶν κρηπίδων· ὃς καὶ νῦν ὁρᾶται μέ-

www.tezaurliturgic.ro
σον τοῦ σταδίου καὶ τοῦ δημοσίου λουτροῦ κάλλιστα διῃρημένος.

Μέλλων δὲ ὁ φιλευσεβὴς οὗτος ἀνὴρ καὶ πρὸς τὸ Ἰλλυρικὸν ἀπιέναι, ἔνθα καὶ τὴν τοῦ ἐπάρχου ἀξίαν διεῖπε καί τινα τῶν μερῶν τοῦ ἱεροῦ σώματος λαβεῖν βουληθείς, ὥς τε κἀκεῖσε ναὸν τῷ εὐκλεεῖ Μάρτυρι ἀνεγεῖραι, οὐκ ἔσχε συνευδοκοῦντα τὸν Ἅγιον· ἀλλὰ νυκτεριναῖς αὐτὸν ἐπιφανείαις εἴργει τοῦ ἐγχειρήματος. Διὰ ταῦτα καὶ τὸν δεύτερον ἔρχεται πλοῦν, ὃ λέγεται, τὴν χλαμύδα τοῦ Μάρτυρος σεπτοῖς αἵμασι τοῖς ἐκείνου πεφοινιγμένην καί τι τοῦ ἐπωμίου λαβὼν (ὃ σύνηθες ὡράριον ὀνομάζειν) καὶ κιβωτῷ τιμίᾳ τὰ ἀληθῶς τίμια καταθέμενος, οὕτω τῷ Μάρτυρι μὲν τὸν πόθον ἀφοσιοῖ, ἑαυτῷ δὲ τὴν μεγίστην περιποιεῖται ἀσφάλειαν.

